## 10

# ЄΙΡΜΟΛΟΓΙΟΝ

Ἐνετίῃσιν, Παρὰ Ἀντωνίῳ τῷ Πινέλλῳ.

αχγ΄.

In-8° de 136 feuillets non chiffrés, divisés en 17 cahiers de 8 feuillets chacun, signés α-ρ. Marque de l'imprimeur sur le titre et au verso du dernier feuillet. Impression rouge et noire.

Au feuillet 2, on lit l'épître dédicatoire suivante :

ΤΩ ΕΥΓΕΝΕΣΤΑΤΩ ΚΑΙ ΠΕΡΙΦΑΝΕΣΤΑΤΩ ΣΠΗΛΙΩΤΙ ΤΩ ΤΑΠΕΙΝΩ ΑΝΤΩΝΙΟΣ Ο ΠΙΝΕΛΛΟΣ ΕΥ ΠΡΑΤΤΕΙΝ

Εἰ καὶ ἕτεροι τῶν ἐφιεμένως ἐχόντων τὸ ὑμέτερον καταπλουτίζειν θεῖον γένος τύποις τε ἱερῶν βίβλων καὶ χαρακτῆρσιν εὐκατασκευάστοις, εὐγενέστατε Ταπεινὲ, καὶ ἡμεῖς οὐχ ἧττον ἐκείνων τὰ ἴσα διὰ σπουδῆς καὶ φροντίδος ἔχομεν ποιεῖν, τὸ τὰς ἁγίας φημὶ βίβλους τῆς ἁγίας τοῦ θεοῦ ἀποστολικῆς καὶ καθολικῆς ἐκκλησίας τῆς ἀνατολικῆς ὅσῃ σπουδῇ καὶ δαπάνῃ οὐ σμικρᾷ ἀνατυποῦν καὶ ἄριστα ὡς οἷόν τε εἰς τὸ βέλτιον καθιστᾶν. Ὅθεν καὶ τὴν τοῦ Εἱρμολογίου βίβλον ἤδη ἐν τύπῳ ἐκδοθεῖσαν καὶ σχεδὸν ἐκλελοιπυῖαν ἀνατυπῶσαι προῄρημαι, οὖσαν ἀναγκαίαν καὶ χρήσιμον ἅμα[1] ταῖς τοῦ θεοῦ ἐκκλησίαις. Καὶ γὰρ οἷά τις στάθμη καὶ κάθετός ἐστι τοῖς ὑπὸ τῶν θεοπνεύστων πατέρων μελουργηθεῖσι τροπαρίοις. Ταύτην γοῦν τὴν ἡδυτάτην καὶ μελίρρυτον βίβλον τῇ σῇ περιφανεστάτῃ ἀναθεῖναι ψυχῇ δεῖν ᾠήθην, τὸ μὲν ὡς ἐν τοῖς πρώτοις τοῦ γένους ὑμῶν συγκαταλελεγμένῃ, τὸ δὲ ὡς καὶ δεξιὰν δυναμένῃ παρασχεῖν δαψιλῶς τοῖς εἰσέπειτα τοῖς ἀειμνήστων Γραικῶν εἰς ζωὴν αἰώνιον προοδοποιούσας[2] βίβλους ἐντυποῦν προθυμουμένοις. Δεχθείης γοῦν, ἀνδρῶν ἄριστε, ταύτην μου τὴν πρὸς σὲ διάθεσιν καὶ διακαῆ πόθον· ὃν οὐδ' αὐτὸς ὁ πανδαμάτωρ αἰὼν ἢ χρόνος ἐς τὸ τῆς λήθης πέμψαι, ᾗ φασὶ, πεδίον ἐξισχύσειέν ποτε. Ἔρρωσο.

αχγ΄ ἔτος τὸ σωτήριον.

Bibliothèque universitaire de Leyde : 588. G. 26.

1. Il y a ἀνὰ dans l'original.
2. Il y a dans l'original προοδοποιοῦσαι.